# EURIPIDE



# *Ippolito*

**PASSI SCELTI:**

- **2°Episodio** **vv. 616-668**

## Secondo episodio, vv. 616-668

616. Ιπ. ὦ Ζεῦ, τί δὴ κίβδηλον ἀνθρώποις κακὸν

..........................................................................................................................................

617. γυναῖκας ἐς φῶς ἡλίου κατῴκισας;

..........................................................................................................................................

618. εἰ γὰρ βρότειον ἤθελες σπεῖραι γένος,

..........................................................................................................................................

619. οὐκ ἐκ γυναικῶν χρῆν παρασχέσθαι τόδε,

..........................................................................................................................................

620. ἀλλ' ἀντιθέντας σοῖσιν ἐν ναοῖς βροτοὺς

..........................................................................................................................................

621. ἢ χρυσὸν ἢ σίδηρον ἢ χαλκοῦ βάρος

..........................................................................................................................................

622. παίδων πρίασθαι σπέρμα, τοῦ τιμήματος

..........................................................................................................................................

623. τῆς ἀξίας ἕκαστον, ἐν δὲ δώμασιν

..........................................................................................................................................

624. ναίειν ἐλευθέροισι θηλειῶν ἄτερ.

..........................................................................................................................................

625. [νῦν δ' ἐς δόμους μὲν πρῶτον ἄξεσθαι κακὸν

..........................................................................................................................................

626. μέλλοντες ὄλβον δωμάτων ἐκπίνομεν.]

..........................................................................................................................................

627. τούτῳ δὲ δῆλον ὡς γυνὴ κακὸν μέγα·

..........................................................................................................................................

628. προσθεὶς γὰρ ὁ σπείρας τε καὶ θρέψας πατὴρ

..........................................................................................................................................

Euripide, *Ippolito*.

629. φερνὰς ἀπῴκισ', ὡς ἀπαλλαχθῇ κακοῦ.

630. ὁ δ' αὖ λαβὼν ἀτηρὸν ἐς δόμους φυτὸν

631. γέγηθε κόσμον προστιθεὶς ἀγάλματι

632. καλὸν κακίστῳ καὶ πέπλοισιν ἐκπονεῖ

633. δύστηνος, ὄλβον δωμάτων ὑπεξελών.

634. [ἔχει δ' ἀνάγκην, ὥστε κηδεύσας καλοῖς

635. γαμβροῖσι χαίρων σῴζεται πικρὸν λέχος,

636. ἢ χρηστὰ λέκτρα, πενθεροὺς δ' ἀνωφελεῖς

637. λαβὼν πιέζει τἀγαθῷ τὸ δυστυχές.]

638. ῥᾷστον δ' ὅτῳ τὸ μηδέν, ἀλλ' ἀνωφελὴς

639. εὐηθίᾳ κατ' οἶκον ἵδρυται γυνή.

640. σοφὴν δὲ μισῶ· μὴ γὰρ ἔν γ' ἐμοῖς δόμοις

641. εἴη φρονοῦσα πλείον' ἢ γυναῖκα χρή.

642. τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις

Euripide, *Ippolito*.

643. ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ

..........................................................................................................................................................

644. γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη.

..........................................................................................................................................................

645. χρῆν δ' ἐς γυναῖκα πρόσπολον μὲν οὐ περᾶν,

..........................................................................................................................................................

646. ἄφθογγα δ' αὐταῖς συγκατοικίζειν δάκη

..........................................................................................................................................................

647. θηρῶν, ἵν' εἶχον μήτε προσφωνεῖν τινα

..........................................................................................................................................................

648. μήτ' ἐξ ἐκείνων φθέγμα δέξασθαι πάλιν.

..........................................................................................................................................................

649. νῦν δ' αἳ μὲν ἔνδον δρῶσιν αἱ κακαὶ κακὰ

..........................................................................................................................................................

650. βουλεύματ', ἔξω δ' ἐκφέρουσι πρόσπολοι.

..........................................................................................................................................................

651. ὡς καὶ σύ γ' ἡμῖν πατρός, ὦ κακὸν κάρα,

..........................................................................................................................................................

652. λέκτρων ἀθίκτων ἦλθες ἐς συναλλαγάς·

..........................................................................................................................................................

653. ἁγὼ ῥυτοῖς νασμοῖσιν ἐξομόρξομαι,

..........................................................................................................................................................

654. ἐς ὦτα κλύζων. πῶς ἂν οὖν εἴην κακός,

..........................................................................................................................................................

655. ὃς οὐδ' ἀκούσας τοιάδ' ἁγνεύειν δοκῶ;

..........................................................................................................................................................

Euripide, *Ippolito*.

656. εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σῴζει, γύναι·

657. εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ᾑρέθην,

658. οὐκ ἄν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί.

659. νῦν δ' ἐκ δόμων μέν, ἔστ' ἂν ἔκδημος χθονὸς

660. Θησεύς, ἄπειμι· σῖγα δ' ἕξομεν στόμα.

661. θεάσομαι δὲ σὺν πατρὸς μολὼν ποδὶ

662. πῶς νιν προσόψῃ καὶ σὺ καὶ δέσποινα σή·

663. τῆς σῆς δὲ τόλμης εἴσομαι γεγευμένος.

664. ὄλοισθε. μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι

665. γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν·

666. ἀεὶ γὰρ οὖν πώς εἰσι κἀκεῖναι κακαί.

667. ἤ νύν τις αὐτὰς σωφρονεῖν διδαξάτω,

668. ἢ κἄμ' ἐάτω ταῖσδ' ἐπεμβαίνειν ἀεί.

Euripide, *Ippolito*.